Τοῦ αὐτοῦ.

Ὀψοφαγία ἐστὶν ἀκρασία περὶ χρῆσιν ὄψου.
Λαιμαργία ἐστὶ μανία περὶ τὸν λαιμόν.
Γαστριμαργία ἐστὶν ἀηδία περὶ τὴν τροφήν. ὡς δὲ καὶ τοὔνομα περιέχει μανία ἐστὶ γαστρός. ἐστὶ μάργος ὁ μεμηνώς.

Περὶ ἀληθείας.

Μενάνδρου.

Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν
Ἐν παντὶ καιρῷ, τοῦτ' ἐγὼ παρεγγυῶ
Εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.
Ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτ' οὐ ζητούμενον. Τοῦ αὐτοῦ.
Ἀλήθεια θεῶν ἐστὶ σύνοικος, μόνη θεοῖς συνδιαιτωμένη. Θεμιστοκλέους.
Ἀλήθεια δὲ παρέστω σοι καὶ ἐμοί. πάντων χρῆμα δικαιότατον.
Ἀρχὰ μεγάλας ἀρετᾶς ὤνασσ' ἀλήθεια
Μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει. Πινδάρου.
Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ
Κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων
Ἔχει γὰρ αὐτὰ καιρόν. ὁ δ' ἄδικος λόγος
Νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν. Εὐριπίδου.
Ψεῦσμα ἀγελαῖον θηρίον, ἀλήθεια γενναῖον.
Λυδία μὲν γὰρ λίθος μηνύει χρυσόν, ἀνδρῶν δ' ἀρετὰν σοφίαν τε παγκρατὴς ἐλέγχει ἀλήθεια. Βακχυλίδου ὑπορχημάτων.
Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι. Πλουτάρχου.
Ἀλήθεια μὲν, ὥσπερ καὶ τοὔνομα δηλοῖ, περὶ θεοὺς ποιεῖ τὴν ἐπιστροφὴν καὶ τῶν θεῶν τὴν ἀκήρατον ἐνέργειαν. ἡ δὲ δοξαστικὴ μίμησις αὐτῆς ἡ οὐκ ἔστι τοιαύτη, ὥς φησι Πλάτων, περὶ τὸ χεῖρον καὶ σκοτεινὸν πλανᾶται. καὶ ἡ μὲν τοῖς νοητικοῖς εἴδεσι καὶ θείοις καὶ τοῖς ὄντως οὖσι καὶ κατὰ τὰ αὐτὰ ἀεὶ ἔχουσι τελειοῦται. ἡ δὲ τὸ χεῖρον καὶ μὴ ὂν καὶ ἄλλοτε ἄλλως ἔχον ἀποβλέπει καὶ περὶ αὐτοῦ ἀμφιβάλλεται. καὶ ἡ μὲν αὐτό, ὅ ἐστι, θεωρεῖ. ἡ δ' οἷον φαίνεται τοῖς πολλοῖς, τοιοῦτον ὑποτίθεται πρόσχημα. διόπερ δὴ ἡ μὲν πρὸς νοῦν ἀνάγει καὶ τὸ ἐν ἡμῖν νοερὸν αὔξει. ἡ δὲ τῷ ἀεὶ δοκοῦντι συμπεριφέρεται τὴν ἄνοιαν καὶ ἐξαπατᾷ. Ἰαμβλίχου Σωπάτρῳ.

Ἐκ τῶν Ὁμήρου.

Ὅτι ἡ ἀλήθεια κάλλιστον καὶ ἐν θεοῖς ὑπάρχει μέγιστον, δηλοῖ διὰ τῶν ἐπῶν τούτων Ὅμηρος *Marg.:* Iliad. α. v. 525.
Τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
Τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν
Οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω.
Τριῶν γὰρ ὄντων ὅλως, οἱ δὲ ἄνθρωποι παραβαίνουσιν ὁμολογίας καὶ ψεύδονται, ἢ γὰρ ἐξαπατῶν τις ἔφησεν, ἢ φήσας ὕστερον μετεγνώσθη ἢ βιαζόμενος ἐξηνέχθη. τούτων δὲ τὸ μέν ἐστι φαύλης προαιρέσεως, τὸ δὲ ἀσθενοῦς κρίσεως, τὸ δὲ ἐνδεοῦς δυνάμεως. πάντα δὲ ὁ θεὸς ἐκπέφευγε τῷ φιλαλήθει, τὸ ἀπατηλὸν καὶ τῷ βεβαίῳ τὸ παλινάγρετον, καὶ τῷ τελείῳ συνεργῷ τὸ ἀτελεύτητον.
Πυθαγόρας ἐρωτηθείς, τί ποιοῦσιν ἄνθρωποι θεῷ ὅμοιοι, ἔφη, ἐὰν ἀληθεύωσιν [30.] οἱ δὲ μάγοι ἀποφαίνονται τοῦ μεγίστου τῶν θεῶν, ὃν Ὠρομάζην καλοῦσιν ἐοικέναι τὸ μὲν σῶμα φωτί, τὴν δὲ ψυχὴν ἀληθείᾳ. *Marg.:* Dubius Cod. inter θεῷ et θεῶν. Vid. Aelian. Var. hist. lib. XII cap. 59.
Ἔνθα γάρ τι δεῖ καὶ ψεῦδος λέγεσθαι, λεγέσθω.
Ἀλήθεια πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις, ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαί- *Marg.:* Plato de legibus lib. V ineunt. Conf. Stobaeum Serm. XLI. et Plutarch. T. II. p. 49. A.